# Ἰωάννου γ′

**1** Ὁ πρεσβύτερος Γαΐῳ[a] τῷ ἀγαπητῷ, ὃν ἐγὼ ἀγαπῶ[b] ἐν ἀληθείᾳ.
2 Ἀγαπητέ, περὶ πάντων εὔχομαί[a] σε εὐοδοῦσθαι[b] καὶ ὑγιαίνειν,[c] καθὼς
εὐοδοῦταί[d] σου ἡ ψυχή. 3 ἐχάρην[a] γὰρ λίαν[b] ἐρχομένων[c] ἀδελφῶν καὶ
μαρτυρούντων[d] σου τῇ ἀληθείᾳ, καθὼς σὺ ἐν ἀληθείᾳ περιπατεῖς.[e]
4 μειζοτέραν[a] τούτων οὐκ ἔχω[b] ⸀χαράν, ἵνα ἀκούω[c] τὰ ἐμὰ τέκνα ἐν ⸀τῇ
ἀληθείᾳ περιπατοῦντα.[d] 5 Ἀγαπητέ, πιστὸν ποιεῖς[a] ὃ ἐὰν ἐργάσῃ[b] εἰς τοὺς
ἀδελφοὺς καὶ ⸀τοῦτο ξένους,[c] 6 οἳ ἐμαρτύρησάν[a] σου τῇ ἀγάπῃ ἐνώπιον
ἐκκλησίας, οὓς καλῶς ποιήσεις[b] προπέμψας[c] ἀξίως[d] τοῦ θεοῦ· 7 ὑπὲρ γὰρ τοῦ
ὀνόματος ἐξῆλθον[a] μηδὲν λαμβάνοντες[b] ἀπὸ τῶν ⸀ἐθνικῶν.[c] 8 ἡμεῖς οὖν
ὀφείλομεν[a] ⸀ὑπολαμβάνειν[b] τοὺς τοιούτους, ἵνα συνεργοὶ[c] γινώμεθα[d] τῇ
ἀληθείᾳ. 9 Ἔγραψά[a] ⸀τι τῇ ἐκκλησίᾳ· ἀλλ’ ὁ φιλοπρωτεύων[b] αὐτῶν
Διοτρέφης[c] οὐκ ἐπιδέχεται[d] ἡμᾶς. 10 διὰ τοῦτο, ἐὰν ἔλθω,[a] ὑπομνήσω[b] αὐτοῦ
τὰ ἔργα ἃ ποιεῖ,[c] λόγοις πονηροῖς φλυαρῶν[d] ἡμᾶς, καὶ μὴ ἀρκούμενος[e] ἐπὶ
τούτοις οὔτε αὐτὸς ἐπιδέχεται[f] τοὺς ἀδελφοὺς καὶ τοὺς βουλομένους[g] κωλύει[h]
καὶ ἐκ τῆς ἐκκλησίας ἐκβάλλει.[i] 11 Ἀγαπητέ, μὴ μιμοῦ[a] τὸ κακὸν ἀλλὰ τὸ
ἀγαθόν. ὁ ἀγαθοποιῶν[b] ἐκ τοῦ θεοῦ ἐστιν·[c] ὁ κακοποιῶν[d] οὐχ ἑώρακεν[e] τὸν

---

**Chapter 1**

1 a NDMS Γάϊος *Gaius*
b V1SPAI
2 a V1SPMI εὔχομαι *to pray for*
b VNPP εὐοδόομαι *to get along with*
c VNPA ὑγιαίνω *to be healthy*
d V3SPPI εὐοδόομαι *to get along with*
3 a V1SAPI
b λίαν *very much*
c VPPMGMP
d VPPAGMP
e V2SPAI
4 a NAFS μειζότερος *greater*
b V1SPAI
c V1SPAS
d VPPAANP
5 a V2SPAI
b V2SAMS
c NAMP ξένος *strange*
6 a V3PAAI
b V2SFAI
c VPAANMS προπέμπω *to accompany*
d ἀξίως *worthily*
7 a V3PAAI
b VPPANMP
c NGMP ἐθνικός *pagan*
8 a V1PPAI
b VNPA ὑπολαμβάνω *to take up*
c NNMP συνεργός *fellow worker*
d V1PPMS
9 a V1SAAI
b VPPANMS φιλοπρωτεύω *to love to be first*
c NNMS Διοτρέφης *Diotrephes*
d V3SPMI ἐπιδέχομαι *to welcome*
10 a V1SAAS
b V1SFAI ὑπομιμνήσκω *to remind*
c V3SPAI
d VPPANMS φλυαρέω *to gossip*
e VPPPNMS ἀρκέω *to be content*
f V3SPMI ἐπιδέχομαι *to welcome*
g VPPMAMP
h V3SPAI κωλύω *to hinder*
i V3SPAI
11 a V2SPMM μιμέομαι *to imitate*
b VPPANMS ἀγαθοποιέω *to do good*
c V3SPAI
d VPPANMS κακοποιέω *to do evil*
e V3SRAI

θεόν. 12 Δημητρίῳ[a] μεμαρτύρηται[b] ὑπὸ πάντων καὶ ὑπὸ αὐτῆς τῆς ἀληθείας·
καὶ ἡμεῖς δὲ μαρτυροῦμεν,[c] καὶ ⸀οἶδας[d] ὅτι ἡ μαρτυρία ἡμῶν ἀληθής[e] ἐστιν.[f]
13 Πολλὰ εἶχον[a] ⸂γράψαι[b] σοι⸃, ἀλλ’ οὐ θέλω[c] διὰ μέλανος[d] καὶ καλάμου[e] σοι
⸀γράφειν·[f] 14 ἐλπίζω[a] δὲ εὐθέως ⸂σε ἰδεῖν⸃,[b] καὶ στόμα πρὸς στόμα
λαλήσομεν.[c] 15 Εἰρήνη σοι. ἀσπάζονταί[a] σε οἱ φίλοι.[b] ἀσπάζου[c] τοὺς φίλους[d]
κατ’ ὄνομα.

---

12 a NDMS Δημήτριος *Demetrius*
b V3SRPI
c V1PPAI
d V2SRAI
e NNFS ἀληθής *true*
f V3SPAI

13 a V1SIAI
b VNAA
c V1SPAI
d NGNS μέλαν *the color black*
e NGMS κάλαμος *reed*
f VNPA

14 a V1SPAI
b VNAA
c V1PFAI

15 a V3PPMI
b NNMP φίλος *friendly*
c V2SPMM
d NAMP φίλος *friendly*